# ΠΡΟΤΑΣΕΙΣ, ΕΥΧΑΙ ΚΑΙ ΑΠΟΦΑΣΕΙΣ

*Κατ' ἀπόφασιν ληφθεῖσαν ὑπὸ τῆς Ὁλομελείας (συνεδρίασις 26ης Σεπτεμβρίου 1961 ἐν τῇ Αἰθούσῃ τοῦ Ἁγίου Μάρκου), αἱ προτάσεις καὶ εὐχαὶ (πλὴν τῶν ὑπ' ἀριθ. 3 καὶ 4) τοῦ Συνεδρίου διετυπώθησαν ἀπὸ τοὺς Κοσμήτορας τῶν Τμημάτων, δημοσιεύονται δὲ κατωτέρω ὡς αὗται ἀνεκοινώθησαν κατὰ τὴν καταληκτήριον συνεδρίαν ὑπὸ τοῦ Γενικοῦ Γραμματέως τῆς Ὀργανωτικῆς Ἐπιτροπῆς καθηγητοῦ κ. Ν. Β. Τωμαδάκη.*

## ΠΡΟΤΑΣΕΙΣ

1. Συναγωγὴ πληροφοριῶν περὶ τῶν ἐν Κρήτῃ πρὸ καὶ μετὰ τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως γραφέντων χειρογράφων, κωδίκων, τῶν γραφέων αὐτῶν καὶ τῶν καλλιγραφικῶν ἐργαστηρίων ἐν τῇ Μεγαλονήσῳ. Ὁμοίως περὶ τῶν κωδίκων τῶν ἔξω τῆς Κρήτης ὑπὸ προσφύγων καὶ ἄλλων Κρητῶν γραφέντων καὶ τῶν γραφέων αὐτῶν.

   Ἐπιτροπή: Ν. Β. Τωμαδάκης, Λ. Πολίτης, Μ. Ι. Μανούσακας, Ν. Λιβαδάρας (Ἑλλάς), A. Pertusi, E. Follieri (Ἰταλία), M.-L. Concasty (Γαλλία).

2. Μικροφιλμογράφησις τῶν σπουδαιοτέρων ἐγγράφων τοῦ ἀρχείου τοῦ Δούκα τῆς Κρήτης καὶ τῶν συμβολαιογραφικῶν ἀρχείων τῆς Ἑνετίας.

   Ἐπιτροπή: Σ Ἀντωνιάδη (Ἰταλία), Fr. Thiriet (Γαλλία), Μ. Ι. Μανούσακας, Ν. Παναγιωτάκης, Στ. Σπανάκης (Ἑλλάς).

3. Ἔκδοσις τοῦ ἔργου (ρητορικοῦ καὶ ὑμνογραφικοῦ) τοῦ Ἁγίου Ἀνδρέου, ἀρχιεπισκόπου Κρήτης, καὶ μελέτη τοῦ βίου του.

   Ἐπιτροπή: G. Schirò (Ἰταλία), Ν. Τωμαδάκης, Α. Φυτράκης, Α. Κομίνης, Θ. Τζεδάκης (Ἑλλάς)

4. Σύνταξις Γλωσσικοῦ Λεξικοῦ τῆς Κρήτης (ἱστορικοῦ καὶ συγχρόνου).

   Ἐπιτροπή: A. Mirambel (Γαλλία), Γ. Κουρμούλης, Γ. Σπυριδάκης, Γρηγ. Σηφάκης, Στ. Σπανάκης (Ἑλλάς).

5. Ἑορτασμὸς τῆς ἑκατονταετηρίδος τῆς Κρητικῆς Ἐπαναστάσεως τοῦ 1866 - 1869 διὰ συναγωγῆς τοῦ ἱστορικοῦ ὑλικοῦ



Institutional Repository - Library & Information Centre - University of Thessaly
15/10/2023 18:03:55 EEST - 167.114.118.212

καὶ συγγραφῆς ἱστορίας, συγκλήσεως τοῦ Β΄ Διεθνοῦς Κρητολογικοῦ Συνεδρίου καὶ συστάσεως γενικῶν καὶ τοπικῶν ἐπιτροπῶν.

Ἐπιτροπή: Ν. Τωμαδάκης, Ἰω. Μαμαλάκης, Μ. Παρλαμᾶς, Μ. Μποτωνάκης, Χ. Κατσιαδάκης, Στ. Σπανάκης (Ἑλλάς).

## ΕΥΧΑΙ

1. Ὅπως ἀποδοθῇ εἰς τὴν Ἀποστολικὴν Ἐκκλησίαν τῆς Κρήτης τὸ λείψανον τοῦ πρώτου ἐπισκόπου αὐτῆς ἀποστόλου Τίτου, εὑρισκόμενον ἐν Βενετίᾳ καὶ εἰς τὸν ναὸν τοῦ Ἁγίου Μάρκου, ὅπου μετεφέρθη τὸ 1669 ἐκ Χάνδακος.

   Ἐπιτροπή: Μητροπολίτης Κρήτης Εὐγένιος, ἐπίσκοπος Γορτύνης Τιμόθεος, Κυδωνίας Νικηφόρος, Κισάμου Εἰρηναῖος, καθηγητὴς Α. Φυτράκης, Ἐμμ. Πετράκης.

2. Ὅπως στραφῇ ἡ προσοχὴ τῶν ἀρχαιολόγων εἰς τὴν ἔρευναν τῶν τειχῶν καὶ ἄλλων καταλοίπων τῆς Α΄ Βυζαντινῆς περιόδου καὶ ἡ διακρίβωσις τῆς πρὸ τοῦ 826 μ. Χ. ἱστορίας τῆς πόλεως Ἡρακλείου (Χάνδακος) καὶ Κυδωνίας (Χανίων).

   Ἐπιτροπή: Ν. Τωμαδάκης, Ν. Πλάτων, Κ. Καλοκύρης, Σ. Πλάτωνος - Λογιάδου.

3. Ἡ Γενικὴ Συνέλευσις τοῦ Α΄ Διεθνοῦς Κρητολογικοῦ Συνεδρίου, ἀποτελουμένη ἐξ Ἑλλήνων καὶ ξένων ἐπιστημόνων ἀναγνωρίζουσα τὸ γεωγραφικὸν ἐπίκαιρον τῆς Κρήτης, τὴν μακρὰν αὐτῆς πνευματικὴν παράδοσιν καὶ τὸ ἐπιστημονικὸν ἐνδιαφέρον, τὸ ὁποῖον αὕτη γεννᾷ εἰς ποικίλους τομεῖς τῆς ἐρεύνης, ἐκφράζει τὴν εὐχήν, ὅπως ἱδρυθῇ ἐν Ἡρακλείῳ Κρήτης Πανεπιστήμιον.*

---

* *Ἡ ἐπὶ τοῦ θέματος τούτου γενομένη ὑπὸ τοῦ Γενικοῦ Γραμματέως τῆς Ὀργανωτικῆς Ἐπιτροπῆς καθηγητοῦ κ. Νικολάου Β. Τωμαδάκη εἰσήγησις κατὰ τὴν συνεδρίαν τῆς Ὁλομελείας τῆς 26.9.1961 ἐν τῇ Αἰθούσῃ τοῦ Ἁγίου Μάρκου ἔχει ὡς ἀκολούθως:*

«Μίαν πρότασιν, τὴν ὁποίαν ἔχομεν νὰ κάνωμεν εἰς τὴν τελευταίαν συνεδρίαν καὶ ἡ ὁποία δὲν εἶναι δυνατὸν νὰ προέλθῃ ἀπὸ ἕνα Τμῆμα, ἢ ἀπὸ τὸ πρῶτον ἢ ἀπὸ τὸ δεύτερον ἢ ἀπὸ τὸ τρίτον, παρακαλῶ νὰ θέσῃ ὁ κ. Πρόεδρος εἰς συζήτησιν καὶ ἡ πρότασις αὐτὴ εἶναι ἡ τῆς ἱδρύσεως Πανεπιστημίου ἐν Κρήτῃ καὶ δὴ ἐν Ἡρακλείῳ, τὴν ὁποίαν προσφάτως, προχθές, διὰ δημοσιεύματος

Institutional Repository - Library & Information Centre - University of Thessaly
15/10/2023 18:03:55 EEST - 167.114.118.212

Ἐπιτροπή: Μητροπολίτης Κρήτης Εὐγένιος, καθηγητὴς Γ. Κουρμούλης, Δήμαρχος Ἡρακλείου Ν. Κρασαδάκης, Ν. Πλάτων, Ἀνδρ. Καλοκαιρινός, Ἐμμ. Πετράκης.

4. Ὅπως ἱδρυθῇ ἐν Κρήτῃ κρατικὸν Κρητολογικὸν Ἰνστιτοῦτον πρὸς ἐπιστημονικὴν μελέτην τῆς Νήσου ἀπὸ ἀρχαιοτάτων χρόνων μέχρι σήμερον εἰς τοὺς διαφόρους κλάδους τοῦ ἐπιστητοῦ. **

---

ἀνενέωσε ὁ συνάδελφος κ. Κουρμούλης. Μίαν μικρὰν ἀναδρομὴν θὰ μοῦ ἐπιτρέψουν οἱ παριστάμενοι δημοσιογράφοι νὰ κάμω εἰς τὸ θέμα αὐτό, ἐπικαλούμενος τὴν μνήμην, τὴν θαλερὰν μνήμην τοῦ σεβαστοῦ μου διδασκάλου κ. Καλιτσουνάκη, ὅτι τὸ πρῶτον σχέδιον τῆς ἱδρύσεως Κρητικοῦ Πανεπιστημίου ἐν Ἡρακλείῳ συνέταξεν ὁ ὑποφαινόμενος τὸ 1944 ἐν Ἀθήναις τὸ τελευταῖον ἔτος τῆς Κατοχῆς, ἐπικαλοῦμαι δὲ καὶ τὴν μαρτυρίαν τοῦ παρισταμένου ἀγαπητοῦ καὶ σεβαστοῦ φίλου κ. Λευτέρη Ἀλεξίου, ὅτι πρὸ πέντε ἢ ἓξ ἐτῶν ἐδῶ ἐλθὼν ἔκανα τὴν συζήτησιν αὐτὴν μαζί του. Ἑπομένως δὲν πρόκειται περὶ νέου τινός. Φυσικὰ ὁ τύπος τὸν ὁποῖον θὰ λάβῃ τὸ Πανεπιστήμιον αὐτό, αἱ σχολαί, τὰς ὁποίας θὰ περιλάβῃ, τὸ ἐνδιαφέρον, πρὸς τὸ ὁποῖον θὰ στραφῇ, ὑπὸ τίνος θὰ ἱδρυθῇ, πῶς θὰ χρηματοδοτηθῇ, πῶς θὰ διοργανωθῇ καὶ ὑπὸ ποίων θὰ ὑπηρετηθῇ, αὐτὰ εἶναι πράγματα μεγάλα καὶ χρῄζουν συζητήσεως, ἀλλὰ σήμερον παρακαλῶ νὰ ληφθῇ ὁμοφώνως ἡ ἀπόφασις ὅπως ἐκφρασθῇ εἰς τὰ Χανιά, εἰς τὴν ὁλομέλειαν πάλιν, εἰς τὴν τελευταίαν συνεδρίαν ἡ εὐχὴ πρὸς τοὺς ἁρμοδίους, ὅπως ἱδρυθῇ τὸ τρίτον ἑλληνικὸν Πανεπιστήμιον ἐν Κρήτῃ καὶ δὴ ἐν Ἡρακλείῳ».

** *Ἡ εὐχὴ αὕτη διετυπώθη κατόπιν προτάσεως ὑποβληθείσης κατὰ τὴν καταληκτήριον συνεδρίαν ὑπὸ τοῦ ἀκαδημαϊκοῦ κ. Ἰωάννου Καλιτσουνάκη καὶ ἐχούσης ὡς ἀκολούθως:*

«Ἐπὶ τῇ λήξει ἐν Χανίοις τοῦ πρώτου Διεθνοῦς Κρητολογικοῦ Συνεδρίου, τὸ ὁποῖον συνῆλθεν εἰς Ἡράκλειον καὶ ἡ ἐπιτυχία τοῦ ὁποίου ὑπῆρξε πλήρης, οὐχὶ δὲ μόνον ἀπὸ ἀπόψεως ἐξωτερικῆς, ἀλλὰ καὶ ἀπὸ ἀπόψεως ζωηροῦ ἐπιστημονικοῦ ἐνδιαφέροντος καὶ ἐπιστημονικῶν ἀνακοινώσεων — τοῦτο ἀπέδειξαν οἱ συρρεύσαντες ἐκ πλείστων Εὐρωπαϊκῶν Χωρῶν διαπρεπεῖς ἐρευνηταὶ μὲ τὰς περὶ τὴν Κρήτην μελέτας αὐτῶν καὶ τὰς ἐπιστημονικὰς ἐπ᾽ αὐτῶν συζητήσεις — εἶναι δίκαιον νὰ ἀπονεμηθῇ ὁ ἔπαινος καὶ ἀναγνώρισις τῆς ἐπιτυχίας ταύτης εἰς δύο κυρίως ἄνδρας: τὸν Καθ. Νικ. Τωμαδάκην καὶ εἰς τὸν κ. Ἀνδρ. Καλοκαιρινόν.

Πρὶν ὅμως σήμερον διαλυθῶμεν καὶ τραπῇ ἕκαστος ἐξ ἡμῶν εἰς τὴν ὁδὸν τῆς ἐπιστροφῆς του εἰς τὴν χώραν του καὶ εἰς τὸ σπουδαστήριόν του, καλὸν εἶναι νὰ ἀναλογισθῶμεν ὅτι ὡρίσαμεν ἤδη τὴν δευτέραν σύνοδον τοῦ Κρητολογικοῦ Συνεδρίου μετὰ πέντε ἔτη, πάλιν ἐδῶ εἰς τὴν Κρήτην, πάλιν μεταξὺ τῶν φιλοξένων κατοίκων της. Ἕως τότε πρέπει ἡμεῖς ὄχι μόνον νέα θέματα καὶ ζητήματα περὶ Κρητικῆς φιλολογίας, ἱστορίας, ἀρχαιολογίας, λαογραφίας κλπ. νὰ ἔχωμεν μελετήσει, ἀλλὰ πρέπει καὶ νὰ εὕρωμεν ἐδῶ εἰς τὴν Κρήτην μίαν μόνιμον ἑστίαν καὶ ἓν μόνιμον ἵδρυμα εἰς τὸ ὁποῖον νὰ γίνεται διαρκεστέρα πως καὶ μονιμωτέρα ἐπιστημονικὴ ἐργασία διὰ τὴν Κρήτην καὶ τὸ παρελθόν,

Institutional Repository - Library & Information Centre - University of Thessaly
15/10/2023 18:03:55 EEST - 167.114.118.212

Ἐπιτροπή: Ἰω. Καλιτσουνάκης, Στ. Καψωμένος, Γ. Κουρμούλης, Ν. Τωμαδάκης, Ἐμμ. Κριαρᾶς, Μ. Μανούσακας, Γεώργ. Σπυριδάκης, Ν. Πλάτων, Ἀνδρ. Καλοκαιρινός.

## ΑΠΟΦΑΣΙΣ

Ὅπως τὸ Β΄ Διεθνὲς Κρητολογικὸν Συνέδριον συνέλθῃ μετὰ πενταετίαν (ἔναρξις εἰς Χανιά, λῆξις εἰς Ἡράκλειον).

---

τὸ παρὸν καὶ τὸ μέλλον τῆς ἱστορίας καὶ ἐξελίξεως αὐτῆς. Τοιαῦτα ἱδρύματα παλαιότερα καὶ μεγάλα ἢ καὶ μόνον νεοΐδρυτα καὶ ἀγωνιζόμενα διὰ ζωὴν καὶ πρόοδον, εὑρίσκομεν ἤδη ὑπάρχοντα ἐν Ἑλλάδι καὶ ἀρκεῖ μόνον νὰ ἀναφέρω τὴν ἐν Θεσσαλονίκῃ ἱδρυθεῖσαν καὶ ἐπωφελῶς δρῶσαν Ἑταιρείαν Μακεδονικῶν Σπουδῶν. Ὄχι μόνον ἡ Μακεδονία, ὄχι μόνον ἡ Πελοπόννησος ἀλλὰ καὶ ἡ μεγάλη Ἑλληνικὴ Νῆσος μὲ τὸ πολυκύμαντον παρελθόν της ἀξίζει νὰ ἔχουν ἵδρυμά τι δι' ἐξερεύνησιν αὐτῶν ἱστορικήν, ἀρχαιολογικήν, λαογραφικήν, ἀνθρωπολογικήν, γεωγραφικήν, γεωλογικὴν κλπ.

Ἔχω λοιπὸν τὴν τιμὴν νὰ προτείνω εἰς τὸ Συνέδριον νὰ ἐγκρίνῃ πρότασιν περὶ ἱδρύσεως ἑνὸς Ἰνστιτούτου ἢ Ἱδρύματος Κρητολογικῶν Μελετῶν εἰς τὸ ὁποῖον νὰ συγκεντρωθοῦν, ἄλλα ἀμέσως ἢ ἄλλα σὺν τῷ χρόνῳ, ὅλα ἐκεῖνα τὰ βιβλία καὶ τὰ μέσα τὰ ὁποῖα θὰ ἐχρειάζοντο πρὸς τοῦτο.

Εἰς τὸ οἴκημα τοῦ ἱδρύματος τούτου πρέπει ὄχι μόνον ἐπιστημονικὴ ἐργασία νὰ γίνεται, ἀλλὰ καί, ἐν περιωρισμένῳ βεβαίως μέτρῳ, νὰ ξενίζωνται καὶ νὰ διαιτῶνται δι' ὡρισμένον βραχὺν χρόνον οἱ ἐπισκεπτόμενοι τὴν Νῆσον ἐρευνηταί.

Τὸ ἵδρυμα τοῦτο εἶναι ἀδιάφορον ἂν θὰ εἶναι Κρατικὸν ἢ Δημοτικόν, ἀρκεῖ νὰ γίνῃ ἡ ἀρχή του καὶ θὰ καταδειχθῇ πάντως ἡ χρησιμότης του καὶ ἡ γενικωτέρα ἐξ αὐτοῦ ἐπιστημονικὴ ὠφέλεια. Τὸ ἵδρυμα τοῦτο πρέπει νὰ ἔχῃ αὐστηρῶς ἐπιστημονικὴν σύστασιν ἢ χαρακτῆρα, καὶ νὰ εἶναι μακρὰν αὐτοῦ πᾶσα ἄλλη μὴ ἐπιστημονικὴ χρησιμοποίησίς του. Πρέπει νὰ ἔχῃ αὐτοτελὲς ἴδιον οἴκημα καὶ καθ' ἔτος νὰ πλουτίζεται ἀναλόγως τῶν ὑπαρχουσῶν πρὸς τοῦτο δυνατοτήτων.

Παρακαλῶ τὸ Συνέδριον νὰ ἐκφέρῃ γνώμην περὶ τούτου».

## ΛΟΓΟΣ
### ΤΟΥ ΚΑΘΗΓΗΤΟΥ κ. ΝΙΚΟΛΑΟΥ Β. ΤΩΜΑΔΑΚΗ
### ΓΕΝ. ΓΡΑΜΜΑΤΕΩΣ ΤΗΣ ΟΡΓΑΝΩΤΙΚΗΣ ΕΠΙΤΡΟΠΗΣ ΤΟΥ ΣΥΝΕΔΡΙΟΥ

Τοῖς τῆς Ἐκκλησίας καὶ Πολιτείας ἀντιπροσώποις καὶ πᾶσιν Ὑμῖν τοῖς Συνέδροις καὶ συγχορευταῖς τῆς δε τῆς ὁμηγύρεως, χαίρειν!

Ἀπείρους μὲν χάριτας πάντες ὀφείλομεν τῷ μεγάλῳ Θεῷ ἐπὶ πᾶσιν οἷς ἐκεῖνος δέδωκεν ἡμῖν ἀπολαῦσαι, τῇ περινοίᾳ αὐτοῦ κοσμήσας

Institutional Repository - Library & Information Centre - University of Thessaly
15/10/2023 18:03:55 EEST - 167.114.118.212

τὴν οἰκουμένην καὶ τῇ μαθήσει καὶ ἐπιστήμῃ διανοίξας τοὺς ὀφθαλμοὺς ἡμῶν ἐπὶ τὸ εἰδέναι καὶ συνιέναι. Νῦν δέ, ἐπὶ τὸ ἐς αἴσιον πέρας ἀχθῆναι τὴν σύγκλητον ἡμῶν τήνδε, καὶ ἀγαλλόμεθα, χεῖράς τε κροτοῦμεν. Ἄνδρες ἀγαθοί τε καὶ πεπνυμένοι ἔκ τε τῆς Ἑλλάδος καὶ ὅλης τῆς Εὐρώπης οὐ μὴν ἀλλὰ καὶ ἐξ ὑπερποντίων χωρῶν ἑβδόμην τήνδε ἡμέραν ἠθροίσμεθα ἐπὶ ταὐτὸ τοῦ συνεορτάσαι τὰ τῆς Κρήτης ἐλευθέρια. Ἐλυτρώθημεν τῆς τῶν ἀσεβῶν δυναστείας τῇ δυνάμει τοῦ τῶν Ῥωμαίων μαγίστρου, ὀνόματι καὶ πράγματι Νικηφόρου, ἐπίκλην τοῦ Φωκᾶ, στρατηγοῦ μὲν ἀρίστου, εὐσεβοῦς δὲ καὶ φιλοθέου καὶ θεοστέπτου τῆς Πόλεως βασιλέως μετὰ ταῦτα γεγονότος. Χίλια δ' ἔτη παρῆλθον ὡς ἡμέρα ἐν ὀφθαλμοῖς Κυρίου, ἀφ' ἧς ἐδοξάσθη τὸ τῶν Ἑλλήνων ὄνομα τροπωσάντων τοὺς Ἄφρους καὶ ἐπαναγαγόντων εἰς τὴν ἀρχαίαν τῶν πατέρων αὐτῶν πίστιν καὶ τὴν κραταιὰν καὶ θεοστεφῆ βασιλείαν τῆς Κωνσταντινουπόλεως τοὺς ἡμετέρους προγόνους.

Καὶ τὸ πρῶτον μὲν ἐν Ἡρακλείῳ, τηνικαῦτα Χάνδακι καλουμένῳ, τῇ μεγάλῃ καὶ περιλαλήτῳ πόλει καὶ τῆς Ἐκκλησίας καθέδρᾳ, ἐν ᾗ θαυμάσια ὅσα τεθησαύρισται τῶν ἀρχαίων καὶ τῶν παλαιῶν τὰ σεβάσματα, τῇ ὑπὸ τοῦ μεγαλομάρτυρος Μηνᾶ φρουρουμένῃ καὶ τοῦ ἡμετέρου ἀποστόλου Τίτου κραταιᾷ προστασίᾳ ὑποκειμένῃ, δοξολογήσαντες ἐμνήσθημεν τοῦ τε ἁγίου βασιλέως Νικηφόρου καὶ πάντων τῶν ὑπὲρ τῆς ἡμετέρας ἐλευθερίας ἀπ' αἰῶνος μαρτυρησάντων. Εἶτα δὲ σύγκλητον συνεθέμεθα ἐπὶ τὸ τὴν γνῶσιν τῆς ἱστορίας καὶ τοῦ βίου τῶν ἡμετέρων προγόνων προαγαγεῖν καὶ ἐν συνειδήσει τὰ ἐκείνων ἔργα πνευματικά τε ἀθλήματα καὶ τὰς τέχνας διακρατεῖν, ὅσα ὁ χρόνος λήθης βυθῷ παραδίδειν εἴωθεν.

Ἔτι δὲ ἐπεσκεψάμεθα τῶν ἡμετέρων προγόνων ναοὺς καὶ πόλεις καὶ ἀνάκτορα καὶ βωμούς, θαυμάζοντες ὅσα ἡ ἐκείνων σοφία καὶ τέχνη πρὸς τῇ ὑπομονῇ καὶ τῇ γνώσει καὶ τῇ τῶν καλῶν αἰσθήσει εἴργασται, δι' ὧν ὁ χοϊκὸς καὶ τῆς γῆς πάροικος ἄνθρωπος πρὸς τὰ οὐράνια ὑψωται καὶ τῆς καθ' ἡμέραν φθορᾶς τε καὶ ἀφανείας λυτρωθῆναι πεπείραται. Οὐ μὴν ἀλλὰ καὶ τῶν ἀπογόνων Κρητῶν, τῶν πάνυ τὴν ἐλευθερίαν φιλούντων, τὸν Θεὸν σεβομένων καὶ τὴν πίστιν κρατούντων, οἰκισμούς τε καὶ χειρῶν ἔργα καὶ τέχνας καὶ τὸν βίον καὶ τὴν λαλιὰν καὶ τὰς καθ' ἡμέραν ἀσχολίας καὶ τεθεάμεθα καὶ τεθαυμάσμεθα, ἐγκωμίοις τε στέφανον αὐτοῖς ἀρετῆς, πίστεως, παιδείας καὶ ἑλληνισμοῦ ἕνεκεν προσηγάγομεν.

Μεγάλοις δὲ μουσείοις ἐντυχόντες, εὐρείαις τε σκαφαῖς, ὁπόσα ἐν αὐτοῖς πεφανέρωται ἢ ἤθροισται καὶ τεθησαύρισται χειρὸς ἔργα καὶ νοὸς εὑρήματα καὶ συνθέματα, ὅπλα τε καὶ σκεύη καὶ ἀγγεῖα καὶ ζωγραφίας, ἐπιγράμματά τε καὶ ἀγάλματα, οἰκήματα καὶ κτίσματα, ἀλ-

Institutional Repository - Library & Information Centre - University of Thessaly
15/10/2023 18:03:55 EEST - 167.114.118.212

λα τε πολλὰ τῇ μνήμῃ διακρατοῦμεν καὶ πολλοῖς διηγησόμεθα. Ἡ δ᾽ ἡμετέρα ψυχὴ θαυμασμοῦ ἐπληρώθη ἰδόντων τῶν Κνωσίων τὰ ἀνάκτορα, ἃ κραταιὸς καὶ τῆς θαλάσσης ἄναξ Μίνως ἤγειρε, τῶν Φαιστίων τοὺς ναοὺς καὶ τὰ δώματα, τοὺς τῆς Γόρτυνος νόμους δημοσίᾳ πλαξὶ τεθειμένους καὶ τὰ πολίσματα πρὸς τὸ σέβας τῶν πάλαι Κρητῶν, τῷ Θεῷ ἐγγισάντων ὅσον ἐδόθη αὐτοῖς τότε ἄνωθεν, τελεταῖς καὶ θυσίαις καὶ ᾠδαῖς τὸ θεῖον πραΰνειν τε καὶ ἐξιλεοῦν. Τῆς δ᾽ εὐσεβείας τῶν Κρητῶν τῇ ἀνδρείᾳ συνεζευγμένης, πλεῖστα διὰ τῶν αἰώνων τεκμήρια καὶ τῶν ἀνὰ τὴν χώραν, μεγάλην καὶ εὔανδρον, εὔκρατόν τε καὶ φιλόξενον οὖσαν ἀπὸ Διὸς Ξενίου, ἐπιστώσαμεν. Ἠγαλλιασάμεθα δ᾽ ἐπὶ τῷ ἐκ τοῦ σύνεγγυς ἰδεῖν καὶ γνωρίσαι ὄρη τὰ ὑψηλά, ὅσα Δίκτη καὶ Ὑψηλορείτης καὶ Κέδρος καὶ Λευκὰ ἰδίᾳ κέκληνται, καὶ ποταμοὺς καὶ πεδιάδας καὶ ὅρμους καὶ κόλπους καὶ τὰ τῆς φύσεως ὅσα πλούσια δῶρα Θεὸς τῇ Κρήτῃ δεδώρηται, ἀνδρῶν γενναίων κατοικητήριον.

Καὶ πολλῶν σοφῶν ἀνδρῶν ἑρμηνευόντων τά τε ἀρχαῖα καὶ παλαιὰ ἐπεσκεψάμεθα, ἡ δ᾽ ἡ ψυχὴ ἡμῶν χαρμοσύνως ἐπλήσθη, ὁ νοῦς τε πεφώτισται. Ἐκείνων γὰρ τῶν πατέρων ἑπόμενοι οἱ υἱεῖς καὶ γόνοι ἀντάξιοι γενόμενοι, τήν τε πίστιν διεσώσαντο καὶ τὴν ἐλευθερίαν δι᾽ ἀγώνων πολλῶν καὶ αἱμάτων ἐπανεκτήσαντο. Οἷς καὶ συγχαίροντες, ἐς ἀεὶ ἐλευθέρους καὶ τὸ θεῖον τιμᾶν καὶ τὰ γράμματα προάγειν καὶ τῶν τεχνῶν ἐρᾶν καὶ ἐς μήκιστον καθ᾽ ἕκαστον εὐτυχεῖν εὐχόμεθα.

Ἀπὸ δὲ τῆς ἑῴας κινοῦντες πρὸς τὰ δυτικὰ τῆς Νήσου ἀφίγμεθα, τὴν τῶν Ριθυμναίων πόλιν, μικρὰν μὲν οὖσαν μεγέθει, μεγάλην δὲ τῷ τῶν Γραμμάτων ζήλῳ, καὶ τῇ ἱστορίᾳ, ἐνετύχομεν, καὶ πολλῶν ἐκεῖ ἀνδρῶν ἀρίστων ὑποδεξαμένων ἡμᾶς πρὸς τὰς περιβοήτους μονὰς ἐτράπημεν. Καὶ δὴ τὸ ἱερὸν Ἀρκάδιον πρῶτον, θυσιαστήριον εἴποι τις ἂν μᾶλλον ἢ ἀνδρῷον σεμνεῖον, καὶ τῶν τῆς Κρήτης ἀγώνων καύχημα ἐπεσκεψάμεθα. Εἶτα δὲ πρὸς Κυδωνίαν τραπέντες, πρώτην μὲν τὴν τῆς Ἁγίας Τριάδος φερώνυμον μονήν, τῶν γραμμάτων κοιτίδα καὶ κλέϊσμα περιειργάσθημεν, εἶτα δὲ τὴν τῶν Χανίων πόλιν ἀπὸ τοῦ λόφου τοῦ Προφήτου Ἠλιού, ὅπου ὁ μέγας Κρὴς τέθαπται, ἐν αὐτῇ τε κατελθόντες, ἀνδρῶν ἀγαθῶν καὶ τῆς ἐλευθερίας προμάχων, πρὸς δὲ καὶ τῶν γραμμάτων ἐραστῶν ἐνετύχομεν καὶ παρ᾽ αὐτοῖς ξενιζόμεθα. Πολλὰ δ᾽ ἡ ὅλη διαδρομὴ ἐδίδαξεν ἡμᾶς προσβλέποντας τείχη τε καὶ οἰκήματα καὶ μονὰς καὶ ναοὺς καὶ ἔργα ποικίλα, παλαιά τε καὶ νέα, ὧν ὁ χρόνος ἐφείσθη ἢ ὅσα ἡ τῶν Κρητῶν εὐσέβεια ἐγεῖραι ἢ διατηρῆσαι ἐμερίμνησε. Πολλῶν δ᾽ ἀνδρῶν ἐπιφανῶν τῆς τε Ἐκκλησίας καὶ τῶν Γραμμάτων καὶ τῆς Πολιτείας ἐμνήσθημεν, εἴτε τεχθέντων καὶ ἐν ταῖς κώμαις δι᾽ ὧν ἐκινούμεθα τραφέντων, εἴτε ὑπὸ ἀνδρῶν σοφῶν ἀναγεννηθέντων ἐρεύναις ὀτηραῖς καὶ ἀνακοινώσεσιν.

Institutional Repository - Library & Information Centre - University of Thessaly
15/10/2023 18:03:55 EEST - 167.114.118.212

Πάντων δὲ τῶν ἀγαθῶν πέρας καὶ τῶν συνουσιῶν οὕτως. Ἐκ πολλῶν συνηγμένοι χωρῶν τε καὶ πόλεων καὶ ἐς τὰ οἰκεῖα ἐπανελθεῖν ἔργα ἐπειγόμενοι, τοῦτο τὸ ὕστατον χαῖρε ἠθροίσθημεν τοῦ ἐπειπεῖν. Οὐ μὲν οὕτως τῇ λήθῃ ῥίψαντες ὅσα καλὰ τεθησαύρισται ἡμῖν, ἀλλὰ τῶν τε πόλεων καὶ τῶν ἀνδρῶν τῇ μνήμῃ ἐχόμενοι στερρῶς, ἀλλήλων ἐν συναφείᾳ πνευματικῇ διατελοῦντες, ἔχομεν δι' ἐλπίδος τάχιον τὴν μεγάλην ταύτην Νῆσον ἐπανιδεῖν καὶ μετὰ ἔτη πέντε ἐκ νέου συναθροισθῆναι ἐνταῦθα τοῦ ἑορτάσαι τῶν κατὰ τῶν Ἀγαρηνῶν ἀγώνων τῆς Κρήτης τὸν εὐκλεέστερον, ἐνιαυτῶν ἑκατὸν σὺν Θεῷ πληρωθῆναι μελλόντων. Ἕως δὲ τῆς ἡμέρας ἐκείνης πολλὰ καὶ συγγραψόμεθα καὶ εἰς φῶς ἀχθήσεται διὰ λογισμοῦ καὶ σκαπάνης καὶ τῆς ἄλλης ἐρεύνης, ὅσα τήν τε ἱστορίαν κοσμεῖ καὶ τὰ Γράμματα καὶ τὰς Τέχνας λαμπρύνει.

Νῦν δὲ πᾶσί τε καὶ τοῖς τῆς Ἐκκλησίας καὶ τῆς ἡμετέρας Πολιτείας ταγοῖς πολλὰς καὶ δαψιλεῖς τὰς εὐχαριστίας ἀναφέρομεν, ἀνθ' ὧν συνεπεκούρησαν ἡμῖν τοῦ ἑορτάσαι τὴν πανήγυριν ταύτην καὶ τὸ συνέδριον ὀργανῶσαι. Ἐς μήκιστον δὲ τὸν ἔπαινον ἐγείρομεν δικαίως ἀπονέμοντες τῇ τε τῶν Κρητικῶν Ἱστορικῶν Μελετῶν Ἑταιρίᾳ τῇ ἐν Ἡρακλείῳ, Ἀνδρέᾳ τε τῷ Καλοκαιρινῷ, ἀνδρὶ φρονίμῳ καὶ φιλοπάτριδι, καὶ τοῖς ἄλλοις πᾶσιν ἑταίροις τοῖς συμβαλοῦσιν εἰς τὸ ἐπιχειρῆσαι τὸ συνέδριον. Τοῖς δὲ ξένοις ἡμῶν τοῖς τε ὁμαίμοσι καὶ ὁμογλώττοις καὶ τοῖς σοφοῖς ἀνδράσι τοῖς ἐξ ἐθνῶν συναγερθεῖσιν ἐνταῦθα τοῦ συλλειτουργῆσαι καὶ συσπουδᾶσαι ἡμῖν καὶ προφρόνως μεθ' ἡμῶν φιλιωθεῖσι καὶ λόγοις καὶ ἔργοις καὶ ἐρεύναις καὶ σπουδαῖς φιλόκρησιν ἀναδειχθεῖσι, μετὰ τῆς εὐχαριστίας τὸν ἔπαινον ἀναμέλπομεν, αὐτοῖς τε καὶ τοῖς λαοῖς αὐτῶν, Μουσείοις καὶ ψυχῶν ἰατρείοις καὶ συλλόγοις τὸ Χαῖρε προσᾴδοντες καὶ ἐν ὑγιείᾳ σώματός τε καὶ πνεύματος αὐτοὺς ἐπανιδεῖν ἐπιλέγοντες.

Valete, amici et socii optimi et eruditissimi, et memoriam Cretae et Cretensium morumque et virtutis et amoris patriae libertatisque nostrorum vivam tenete, et habete Deum Christianitatis et Graecitatis adjutorem vos et patriae vestrae.

— Au revoir à la Canée en 1966.

— Auf Wiedersehen in Khania nach fünf Jahren.

— I will see you again here after five years.

— A rivederci a La Canea dopo cinque anni.

— Ἐς τὸ ἐπανιδεῖν ἐνταῦθα μετὰ ἐνιαυτοὺς πέντε.

— Μὲ τὸ καλὸ νὰ μᾶς ξανάρθετε στὰ '66.

Institutional Repository - Library & Information Centre - University of Thessaly
15/10/2023 18:03:55 EEST - 167.114.118.212